# ARISTOPHANE

## *Les oiseaux*

Ἔποψ -
Ἐποποποῖ ποποῖ, ποποποποῖ ποποῖ,
ἰὼ ἰὼ ἰτὼ ἰτὼ
ἴτω τις ὧδε τῶν ἐμῶν ὁμοπτέρων·
ὅσοι τ᾽ εὐσπόρους ἀγροίκων γύας
νέμεσθε, φῦλα μυρία κριθοτράγων
σπερμολόγων τε γένη
ταχὺ πετόμενα, μαλθακὴν ἱέντα γῆρυν·
ὅσα τ᾽ ἐν ἄλοκι θαμὰ
βῶλον ἀμφιτιττυβίζεθ᾽ ὧδε λεπτὸν
ἡδομένᾳ φωνᾷ·
- τιὸ τιὸ τιὸ τιὸ τιὸ τιὸ τιὸ τιό -
ὅσα θ᾽ ὑμῶν κατὰ κήπους ἐπὶ κισσοῦ
κλάδεσι νομὸν ἔχει,
τά τε κατ᾽ ὄρεα τά τε κοτινοτράγα τά τε κομαροφάγα,
ἀνύσατε πετόμενα πρὸς ἐμὰν αὐδάν·
- τριοτὸ τριοτὸ τοτοβρίξ· -
οἵ θ᾽ ἑλείας παρ᾽ αὐλῶνας ὀξυστόμους
ἐμπίδας κάπτεθ᾽, ὅσα τ᾽ εὐδρόσους γῆς τόπους
ἔχετε λειμῶνά τ᾽ ἐρόεντα Μαραθῶνος, ὄρ-
νις <τε> πτερυγοποίκιλός τ᾽ ἀτταγᾶς ἀτταγᾶς·
ὧν τ᾽ ἐπὶ πόντιον οἶδμα θαλάσσης
φῦλα μετ᾽ ἀλκυόνεσσι ποτῆται,
δεῦρ᾽ ἴτε πευσόμενοι τὰ νεώτερα,
πάντα γὰρ ἐνθάδε φῦλ᾽ ἀθροΐζομεν
οἰωνῶν ταναοδείρων.
Ἥκει γάρ τις δριμὺς πρέσβυς
καινὸς γνώμην
καινῶν τ᾽ ἔργων ἐγχειρητής.
Ἀλλ᾽ ἴτ᾽ ἐς λόγους ἅπαντα,
δεῦρο δεῦρο δεῦρο δεῦρο·
τοροτοροτοροτοροτιξ,
κικκαβαυ κικκαβαυ,
τοροτοροτορολιλιλιξ.

Πισθέταιρος -
Ὁρᾷς τιν᾽ ὄρνιν ;

Ἐυελπίδης -
Μὰ τὸν Ἀπόλλω ᾽γὼ μὲν οὔ·
καίτοι κέχηνά γ᾽ ἐς τὸν οὐρανὸν βλέπων.

Πισθέταιρος -
Ἄλλως ἄρ᾽ οὔποψ, ὡς ἔοικ᾽, ἐς τὴν λόχμην
ἐμβὰς ἐπῷζε χαραδριὸν μιμούμενος.

Ὄρνις -
Τοροτιξ τοροτιξ.

Πισθέταιρος -
Ὡγάθ᾽ ἀλλ᾽ <οὖν> οὑτοσὶ καὶ δή τις ὄρνις ἔρχεται.

Ἐυελπίδης -
Νὴ Δί᾽ ὄρνις δῆτα. Τίς ποτ᾽ ἐστίν ; Οὐ δήπου ταὧς ;

Πισθέταιρος -
Οὗτος αὐτὸς νῷν φράσει· τίς ἐστιν ὄρνις οὑτοσί ;

Ἔποψ -
Οὗτος οὐ τῶν ἠθάδων τῶνδ᾽ ὧν ὁρᾶθ᾽ ὑμεῖς ἀεί,
ἀλλὰ λιμναῖος.

Ἐυελπίδης -
Βαβαὶ καλός γε καὶ θοινικιοῦς.

Ἔποψ -
Εἰκότως <γε>· καὶ γὰρ ὄνομ᾽ αὐτῷ ᾽στὶ φοινικόπτερος.

Ἐυελπίδης -
Οὗτος ὧ - σέ τοι.

Πισθέταιρος -
Τί βωστρεῖς ;

Ἐυελπίδης -
Ἕτερος ὄρνις οὑτοσί.

Πισθέταιρος -
Νὴ Δί᾽ ἕτερος δῆτα χοὗτος ἔξεδρον χώραν ἔχων.
Τίς ποτ᾽ ἔσθ᾽ ὁ μουσόμαντις, ἄτοπος ὄρνις ὀρειβάτης ;

Ἔποψ -
Ὄνομα τούτῳ Μῆδός ἐστι.